ΑΡΧΑΙΟΡΡΥΘΜΟΙ ΣΤΙΧΟΙ

## Παρθενών

*Ἐκ μὲν εἰκόνων ἐδόκουν σε γνῶναι*
*κεὐθὺς ἀντήσας φιλικῶς ὁμιλεῖν*
*ὡς συνήθει, φάσμα δὲ τοῦτ' ἐφάνη*
*δαιμόνιόν τι.*

*τηλόθεν δ' ὀκνῶ προσορᾶν τὸ θαῦμα*
*ἐν σκιαῖς λάθρᾳ Προπύλων τεθηπώς,*
*ὡς ἀγείτων αὐτοτελῶς κρατύνεις*
*τὴν πόλιν ἄκραν.*

*ἦ μὲν ἡρώων τινί σ' εἰκάσαιμ' ἄν,*
*Παρθενών, ἄγχιστα πάλαι γεγώτων,*
*γῆς γάρ εἰσιν ἡμετέρας, ἀεὶ δ' ἀν-*
*θοῦσιν ἀγήρῳ.*

*Τίς δ' ἀλάστωρ χεῖρα προσῆγ' ἀθίκτῳ*
*τίς σ' ἄτρωτον τραυματίαν ἔθηκεν;*
*οὐ χρόνος γὰρ πανδαμάτωρ τὰ θεῖ' ἔ-*
*φθειρε πρόσωπα*

*οὐδὲ Ῥωμαίων ἀπόμουσος ὕβρις*
*οὐδὲ μαινόλις Μαρίας λατρεία.—*
*Βάρβαρος βορρᾶθεν ἔκειρεν ὠμῶς*
*ναὸν Ἀθηνᾶς.*

*Ἀλλ' ἐρημωθέντος ἀγάλμαθ' ἁγνὰ*
*σὸν πέφηνεν εἰλικρινῶς τὸ κάλλος,*
*οἷον εὔρυθμόν ποτε δημιουργοῦ*
*κρατὸς ἀνέστη.*

*οὐ λίθοι βρίθουσι λίθους, συνᾴδει*
*κῶλ' ἅπαντα μαρμάρινον τὸν ὕμνον*
*καὶ κλύουσ' ὁρῶντες, ὅτοις Ἀθηνᾶς*
*σύμφυτος αἰδώς.*

---

## Ἡ πρόμαχος

*Γεννήσασα πόλιν πόλεων, Διὸς ἔρνος, Ἀθηνᾶ*
*χαῖρ' ὦ παρθενικὴ προστάτις Ἑσπερίας.*

WILHELM KUCHENMÜLLER STUTTGART